ō π S. οἰνοβεβρεγμένοι, οἷς ἐπίκειται ἡ φακή.] Εὐθὺ, κατευθὺ καὶ κατεναντίον, ἐπ' εὐθείας. Εὐθυβόλῳ, ἐξ
γ S. εὐθείας βάλλοντι. Εὐθυτενῶς, ἴσα καὶ πρὸς τὸ εὐθὺ τεταγμένως. [Εὐθυγνωμίας, ὁ μάρτυς· ὡς τὴν
ō π S. οἰκείαν γνώμην εὐθεῖαν διὰ λόγου παριστῶν] Εὐθημοσύνη, τάξις. [Εὐθυδήμονα, ἁπλοῦν δημότην]
Εὐθυεπείαις, ὀρθολογίαις. Εὐθυδικία, ὅτ' ἂν εἰσάγηταί τις κριθησόμενος περὶ ὧν μηδέπω γνῶσις γέ-
-γονε δικαστηρίου. Τοῦτο εὐθυδικία καλεῖται, περὶ ὧν γὰρ κεκρίσθαι τις φησὶ, περὶ τούτων παραγράφεσθαι
ἐφεῖται. [Εὐθὺ Λυκείου, τὸ εἰς Λύκειον· ὅθεν Ἐρατοσθένης, καὶ διὰ τοῦτο ὑποπτεύει τοὺς Μεταλλεῖς
καὶ Εὐριπίδην, οὐκ ὀρθῶς τὴν εὐθὺς Ἄργους καὶ Ἐπιδαυρίαν ὁδόν. Εὔθυναι, οἱ ἀπολογισμοὶ τῶν ἀρξάντων.
ō π S. καὶ Εὔθυνοι οἱ τούτους ἀνακρίνοντες νόμῳ ιβ'. εἰ δὲ μὴ τούτους κατευθύνειν αὐτοὺς κατευθύνοντα.
καὶ μετ' ὀλίγα· διὸ δὲ δεῖ πάντας τοὺς εὐθύνους θαυμαστὴν πᾶσαν ἀρετὴν εἶναι· ἡμεῖς τούτους λογιστὰς
λέγομεν] Εὐθύνη, κυρίως ἣν εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς τ
πόλεως, ἢ πρεσβεῦσαι κακῶς· καὶ τὰ δικαστήρια μὲν οἱ λογισταὶ κληροῦσιν, κατηγορεῖ δὲ ὁ τ
βουλόμενος, καὶ τοῖς δικασταῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν. Εὐθύνη, ὄνομα ἀρχῆς παρὰ
Ἀθηναίοις· δέκα τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ
ῶσαι S. διοικήσαντες τι τῶν δημοσίων τὴν εὐθύνην. Εὐθύναι, ἐξετάσαι, ὀρθῶσαι. Εὐθύναντας, ὁρμῶντας.
διοικήσαντες Εὔθυνος, εὐθυντής. Εὐθύνας, δίκας τιμωρίας. Εὐθύνουσιν, ἐρωτῶσι· δίκας εἰσπράττουσιν. Εὐθύωρον,
ἀντὶ τοῦ κατ' εὐθεῖαν· οὕτως Ἀντιφῶν καὶ Ξενοφῶν. [Εὐθύορον, τόπος ἐστὶν ἐπ' εὐθεῖαν ἔχων τὸν ὅρον.
Εὐθυτενίζουσα, ὀρθῶς βαδίζουσα· ἐπιτατικῶς τρέχουσα· ὀρθῶς φρονοῦσα· ἀπταίστως ψηφιζομένη. τὸ
ō π S. εὐθὺ σκοποῦσα· καὶ εὐθυτενίζων ὁ μάρτυς, ὁ τὰ εὐθῆ ἀπαρεγκλίτως διατηρῶν, καὶ εὔρυθμον τὴν π
εὐθυλογίας οἰκείαν γνώμην, διὰ τῆς εὐθυλοχίας παριστῶν, ἀπὸ μεταφορᾶς τῆς ἐπιτεταμένης νευρᾶς] Εὐθὺς
-φήμων, ἐτυμολόγος. Εὐθὺς καὶ εὐθέως, ἀμφότερα Ἑλληνικά· τὸ δὲ εὐθὺ διαφέρει τούτων· γὰρ
τὸ παραχρῆμα σημαίνει, ἀλλὰ τὸ ἕως καὶ εἰς ὅσον. Εὐθὺ σκοποῦ, ἀκριβές· καὶ εὐθεῖαν [Εὐθὺ συν-
-εγγὺς σημαίνει. Εὐθυωρίαν, τὴν εὐθύτητα.] Εὐϊλατεύειν, εὐμενῆ εἶναι. Ἐν ἤθει καλῶς γνῶναι. Εὐκατά-
ō π S. -πρηστος, εὐκατάκαυστος. [Εὐκερματεῖν, Εὔβουλός που κέχρηται τῷ ὀνόματι. Εὔκηλον, εὔκαυστον.
εἰς ἐνδόξους. εὔχιστον· ζῶν ἐν Ὀμφάλῃ· Ἐξανθρακώσας πυθμένα εὔκηλον δρυός.] Εὐκλεγες...... [Εὔκληρος
εὐεπιτήκτος. Εὔκλεια, καὶ τὰ ὅμοια, μακρὰ ἡ τελευταία· καὶ παροξύνεται, ὥσπερ καὶ Ἐρατοσθένης ἐν
ΙΒ περὶ ....] Εὐκληρία, εὐωχία. Εὔκολος [ῥᾴδιος ἢ ὁ σύννους] ὁ ἐναντίος τῷ δυσκόλῳ.
ō π S. [Εὐκόμιστος, ἐπιμελείας εὖ τετυχώς· κομιδὴ γὰρ ἡ ἐπιμέλεια· ἐπεὶ οὐ κομιδῇ κατὰ γῆν. Εὔκρας,
εὔκρατος εὐρυθροτῶσιν. Εὔκρας, οὐ γένοιτ' ἂν ἥδεως ἐν Ἀντιόπῃ] Εὐκρινής, συνήθως μὲν ὁ ἐξ
ἀρρωστίας ὑγιαίνων λέγεται· διὰ τὸ εὐκεκρίσθαι· ἔτι δὲ καὶ ἐπὶ νεκροῦ τίθεασι κατ' ἀντίφρασιν] Ἀττικοί
κλάζεται· μεσ Εὐκρινεῖ, εὐχερεῖ. [Εὐλάζου, εὔχου] Εὐκταῖον, εὐχῆς ἄξιον [Εὔκυκλος, εὔχορος. Εὐλαβήσον, Εὐ-
ō π παρὰ S. λαβῆσαι λέγουσιν] Εὐλαβοῦ, φυλάσσου. Εὔλακα, τὸ ἄροτρον περὶ Θουκυδίδου. Δώριος δὲ ἡ λέξις.
[Εὐλημματεῖν, εὖ ἔχει λήμματος καὶ ἀνδρείας] Εὐλόγηκε, ἐβλασφήμησεν. Εὐλογιστίας, εὐλογίας·
εὐβουλίας. Εὐμάρειαι, εὐχέρειαι. Εὐμαρής, εὔκολος· εὐχερής. [Εὐμάρειαν, ῥᾳστώνην, εὐχέρειαν. οἱ δὲ
ō π S. Ἴωνες τὸ περὶ τινα τῶν ἀναγκαίων τοῦ σώματος ἐκκρίσεων ἀποληφθῆναι· οἷον οὐρῆσαι, ἀποπατῆσαι.
Εὐμαρίδες, ὑποδημάτων γένος] Εὐμενίδες, Αἰσχύλος Εὐμενίσιν· εἰπὼν τὰ περὶ τὴν κρίσιν τοῦ
Ὀρέστου, φησὶν ὡς ἡ Ἀθηνᾶ ἐπράϋνε τὰς Ἐρινύας, ὥστε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέστην. Εὐμενί-
-δας αὐτὰς ὠνόμασεν· εἰσὶ δὲ τρεῖς· Ἀληκτώ, Μεγαίρα, Τισιφόνη. Εὐμεταβολώτερος κοθόρνου. Κόθορνος
ὑπόδημα ἁρμόζον δεξιῷ τε καὶ εὐωνύμῳ ποδί· ὅθεν καὶ Θηραμένην τὸν ἐπὶ τῶν τριάκοντα τ
κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι· ἐπὶ τῶν συντρεφομένων οὖν συνεχῶς ἡ παροιμία κεῖται. Εὐμοι-
-ρία, εὐκληρία. Εὐμολπία, πολλάκις τῆς ἡμέρας τρεπόμενος· ἢ εὐφωνία· ἢ εὐμένεια. [Εὐμολ-
ō π S. -πίδαι, πάτρια Ἀθήνησιν, ἀπὸ Εὐμόλπου· ἐλέγοντο δὲ τρεῖς· ὁ μὲν ἐκ Θρᾴκης ἐπιστρατεύσας, ὃν
οὐ προσποιοῦνται οἱ Εὐμολπίδαι· ὁ δὲ Ἀπόλλωνος καὶ Ἀστυκόμης· ὁ δὲ Μουσαίου καὶ Διιόπης.]
Εὐμολπίδαι, γένος ἀπὸ τοῦ Θρᾳκός, ὃς καὶ τὴν μύησιν εὗρεν· ἢ ἀπὸ τοῦ Μουσαίου υἱοῦ, ὃς ἦν
ἀπὸ τοῦ δευτέρου πέμπτος. Εὐναί, κοῖται ἢ ἄγκυραι. [Εὐναί, ἰδίως Θουκυδίδης τὰ ἐπίσημα
ō π S. τὸ ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν τεταγμένον ἐπὶ ὀκτώ. τὸ δὲ ἥμισυ ἐπὶ
ταῖς εὐναῖς ἐν πλαισίῳ. Εὐναῖος, ἐγκεκρυμμένος· Σοφοκλῆς Δόλοψιν. Εὐναῖος ἂν δραπέτην
στέρνην ἔχων. Εὐνένηται, εὖ πεπλήρωται] Εὐνηθέντες, κατακοιμηθέντες [Εὐνεῖδαι, γένος Ἀθήνησι μουσικὸν κατακ..θ..
ἀπὸ Εὔνεω τοῦ Ἰάσονος καὶ Ὑψιπύλης] Εὐνεΐδαι, γένος ἐστὶ παρὰ Ἀθηναίοις, οὕτως ὀνομαζόμενον·
εὐθηνουμένη ἦσαν δὲ κιθαρῳδοὶ πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν. [Εὔνοι, οἱ εὐνοοῦντες] Εὐνοίας,
οἰκοῦ S. φιλίας. Εὐνομουμένη, εἰρηνεύουσα, εὐθυνομένη, καλῶς διακειμένη. Εὐνούστατα, φιλίως. [Εὔνουχος
ὁ σπάδων ὑπὸ τῶν Ἀττικῶν καλεῖται. Εὔογκον, οὐ τὸ μέγα, ἀλλὰ τὸ μέτριον τῷ ὄγκῳ. Εὔνοστος,
θεὸς ἐπιμύλιος, ἡ δοκοῦσα ἐφορᾶν τὸ μέτρον τῶν ἀλεύρων. Εὐοῖ, Σαβοῖ, μυστικὰ μέν ἐστιν τ
ō π S. ἐπιφθέγματα· φασὶ δὲ τῇ φρυγῶν φωνῇ τὰς μούσας δηλοῦν· ἀφ' οὗ καὶ ὁ Σαβάζιος Διόνυσος.
Εὐοῖ, Σαβοῖ, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Βακχικὸν δὲ ἐπίφθεγμά ἐστιν. Εὐορνιθεῖν
Σοφοκλῆς ἐπὶ οἰωνῶν] Εὐόφθαλμον, τὸ εὔοπτον. Εὐοφθάλμως Ἀντιφῶν ἀντὶ τοῦ εὐπρεπῶς.
Εὔξεινον, ὄνομα πελάγους. Εὔξοον, καλῶς ἐξεσμένον. [Εὐόργητος, πρᾶος. Εὔοχθον, πλήρη,
ō π S. ἀπὸ τῶν ποταμῶν μετῆκε] Εὐπαραχοί, ἀντὶ τοῦ παραχόντος· δῆλον δὲ ὅτι τοῦ Δαίμονος,
ὃ ἐστι δωρησαμένου τὴν νίκην. Εὐπάρεδρον, καλῶς παραμένον καὶ διηνεκῶς. Εὐπάθεια,
διάχυσις καὶ ἄνεσις τῆς ψυχῆς· ἡ τρυφή. [Εὐπατρίδαι, οἱ αὐτόχθονες καὶ μὴ ἐπήλυδες]
Εὐπάριστον, εὐπαράγωγον. Εὐπάρυφα, εὐκατέργαστα· ἢ πλούσια. Εὐπάρυφος, ὁ πλατεῖαν τ
παρυφὴν τιθεὶς, πορφύραν ἔχων.] Εὐπατρίδαι, εὐγενεῖς. Εὐπερίστατον, μωρὸν ταχέως
περιφερόμενον. Εὐπετής, εὐχερής. Εὐπετῶς, ῥᾳδίως· εὐχερῶς· εὐκόλως· καὶ εὐσταλῶς. τ
[Εὐπινές, τὸ ἀφελὲς καὶ μὴ λίαν τετημελημένον, ἀλλὰ μετρίαν πίνον ἔχον] Εὐπλοκα-
ō π S. μίδες, καλλιπλόκαμοι. [Εὔπονος, Εὔπολις] Εὐπότμως, εὐτυχῶς. [Εὐπραξιάν, οἱ παλαιοὶ
κωμικοὶ διὰ τοῦ ξ. Θουκυδίδης διὰ τοῦ γ. Εὔπρωρον, εὐπρόσωπον] Εὔπρηστον, εὐφόρητον.
Εὐπτόρθον, εὔκλαδον. [Εὐρακάντες, ἥκοντες· ῥαλίας γὰρ ἐκάλουν τοὺς τραχεῖς καὶ παρήκοντας
ō π S. τόπους. Εὕρετο, εὐποιήσασθαι· περιποιήσασθαι. Εὕρετο, ἐκπορίσασθαι. Εὑρήματα, βουλεύματα, τ
Εὑρήματα, οὐκ εὑρέματα.] Εὑρεσιεπής, καινολόγος. Εὑρεσιεπεῖα, εὑρεσιλογία. Εὑρεσιλόγος,
ῶ S. ω S. ἐτυμολόγος φλυαρὸς, ἐτυμολόγος. Εὑρήσεται ἀντὶ τοῦ εὑρεθήσεται. Εὔριζον, πλατύνον· ἢ καλὰς ῥίζας Χαροπῆς
ω S. ἔχον. Εὔωνον, εὐτελές. Εὐώνυμον λέγουσιν οὐ μόνον ἀριστερόν· καὶ παρὰ Θουκυδίδῃ
πλεῖστοι. Εὐωρεῖ, παίζει [μετεωρίζεται] Εὐωρία, φιλίως· τὸ μὴ πάνυ φροντίζειν ἀλλὰ ῥᾳθυμό-
-τερον